οἷς ἐπὶ τῆς κλίνης περιέπεσον;' ἃς δ' ἡ κλίνη γεννᾷ διαφορὰς καὶ λοιδορίας καὶ ὀργάς, οὐ ῥᾴδιόν ἐστιν ἐν ἄλλῳ τόπῳ καὶ χρόνῳ διαλυθῆναι.

**40.** Ἡ Ἑρμιόνη δοκεῖ τι λέγειν ἀληθὲς λέγουσα (Eur. Andr. 930)

'κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν'.

τοῦτο δ' οὐχ ἁπλῶς γιγνόμενόν ἐστιν, ἀλλ' ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ μὴ τὰς θύρας μόνον ἀλλὰ καὶ τὰς ἀκοὰς ἀνοίγωσι. τότ' οὖν δεῖ F μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμόν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου. λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς Ἕλληνας ὡς εὖ πάσχοντας καὶ κακῶς αὐτὸν λέγοντας εἰπεῖν 'τί οὖν, ἂν [καὶ] κακῶς ποιῶμεν αὐτούς;' ὅταν οὖν αἱ διαβάλλουσαι λέγωσιν ὅτι 'λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν', | 'τί οὖν, ἂν καὶ μισεῖν αὐτὸν ἄρ- **144** ξωμαι καὶ ἀδικεῖν;'

**41.** Ὁ τὸν δραπέτην ἰδὼν διὰ χρόνου καὶ διώκων, ὡς κατέφυγε φθάσας εἰς μυλῶνα, 'ποῦ δ' ἄν' ἔφη 'σὲ μᾶλλον εὑρεῖν ἐβουλήθην ἢ ἐνταῦθα;' γυνὴ τοίνυν διὰ ζηλοτυπίαν ἀπόλειψιν γράφουσα καὶ χαλεπῶς ἔχουσα λεγέτω πρὸς ἑαυτήν 'ποῦ δ' ἂν ἡ ζηλοῦσά με μᾶλλον ἡσθείη θεασαμένη καὶ τί ποιοῦσαν ἢ λυπουμένην καὶ στασιάζουσαν πρὸς τὸν ἄνδρα καὶ τὸν οἶκον αὐτὴν καὶ τὸν θάλαμον προϊεμένην;'

**42.** Ἀθηναῖοι τρεῖς ἀρότους ἱεροὺς ἄγουσι, πρῶτον ἐπὶ Σκίρῳ, τοῦ παλαιοτάτου τῶν σπόρων ὑπόμνημα, δεύτερον ἐν τῇ Ῥαρίᾳ, τρίτον ὑπὸ πόλιν τὸν καλούμενον Βουζύγιον. τού- B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/301 UNIVERSITÄT LEIPZIG